Pl. 19

(ΣΩ.) Τὴν νύκτα [ . . . . . . . . . . . . . .
πάντες μεν[. . . . . . . . . . . . το]ὺς γάμους
ποήσομεν. Κ[αὶ τὸν] γέροντα, [Γορ]γία,
κομίσατε δε[ῦ]ρ᾽· ἕξει τὰ δ[έον]τ᾽ ἐνταῦθ᾽ ἴσω[ς
μᾶλλον παρ᾽ ἡμῖν.: (ΓΟ.) Οὐκ ἐθ[ελ]ήσει, Σώστρατε. :
(ΣΩ.) Σύμπεισον αὐτόν. :
(ΓΟ.) Ἂν δύνωμ[αι. (ΣΩ.)] Δεῖ πότον
ἡμῶν γενέσθαι, παπία, νυνὶ [κ]αλόν,
καὶ τῶν γυναικῶν παννυχίδα. : (ΚΑ.) Τοὐναντίον
πίοντ᾽ ἐκεῖναι, παννυχιοῦμεν οἶδ᾽ ὅτι
ἡμεῖς. Παράγων δ᾽ ὑμῖν ἑτοιμάσω τι τῶν
προὔργου. :
ΣΩ/ Πόει τοῦτ᾽. — Οὐδενὸς χρὴ πράγματος
τὸν εὖ φρονοῦνθ᾽ ὅλως ἀπογνῶναί ποτε·
ἁλωτὰ γίνετ᾽ ἐπιμελείαι καὶ πόνωι
ἅπαντ᾽. Ἐγὼ τούτο⟨υ⟩ παράδειγμα νῦν φέρω·
ἐν ἡμέραι μιᾶι κατείργασμαι γάμον
⟨ὃν⟩ οὐδ᾽ ἂν εἷς ποτ᾽ ᾤιετ᾽ ἀνθρώπων ὅλως. :

ΓΟΡ/ Προάγε⟨τε⟩ δὴ θᾶττόν ποθ᾽ ὑμεῖς.: ΣΩ/ Δεῦρο δή.
Μῆτερ, δέχου ταύτας. Ὁ Κνήμων δ᾽ οὐδέπω; :
(ΓΟ.) Ὃς ἱκέτευέ μ᾽ ἐξαγαγεῖν τὴν γραῦν ἔτι
ἵν᾽ ᾖ τελέως μόνος καθ᾽ αὑτόν. : (ΣΩ.) Ὢ τρόπου
ἀμάχου.: (ΓΟ.) Τοιοῦτος. (ΣΩ.) Ἀλλὰ πολλὰ χαιρέτω.